# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ

# ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΕΛΙΚΩΝΙΔΟΣ

ΤΗΣ ΕΝ ΚΟΡΙΝΘΩι ΑΘΛΗΣΑΣΗΣ

*Ποιηθεῖσα*
*ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη,*
*Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου*
*τῇ αἰτήσει τοῦ Σεβασμιωτάτου Μητροπολίτου Σύμης*
*κ. ΧΡΥΣΟΣΤΟΜΟΥ τοῦ Β΄.*

ΕΚΔΟΣΙΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΣΥΜΗΣ

ΣΥΜΗ 2023

*Τίτλος Βιβλίου:* Ἀκολουθία τῆς Ἁγίας καὶ πανευφήμου Παρθενομάρτυρος Ἑλικωνίδος
τῆς ἐν Κορίνθῳ Ἀθλησάσης.

Ποίημα Κυρίλλου Κογεράκη, Μητροπολίτου Ρόδου.

© Ἱερά Μητρόπολις Σύμης

*Φωτογραφία ἐξωφύλλου:*
Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, μετά ἀργυρᾶς ἐπικαλύψεως,
εὑρισκομένη εἰς τόν ὁμώνυμον Κοιμητηριακόν Ναόν «Παλαμιδᾶ» Σύμης.

*Φωτογραφία ὀπισθοφύλλου:*
Ἐξωτερική ἄποψις τοῦ Ἱ. Κοιμητηριακοῦ Ναοῦ τῆς Ἁγίας Ἑλικωνίδος «Παλαμιδᾶ» Σύμης.

ISBN: 978-618-86342-1-3

Ἐκδοτική Παραγωγή **ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.**
Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

# Πρόλογος Σεβ. Μητροπολίτου Σύμης κ. Χρυσοστόμου

Η εὐλογημένη Νῆσος Σύμη, μέ τίς πανέμορφες Ἐκκλησίες καί τά ἑκατοντάδες γραφικά ἐξωκκλήσια, μέ τά ἐννέα Ἀρχαγγελικά προσκυνήματα, μαρτυρεῖ τήν εὐλάβεια τῶν Συμαίων καί τήν βαθιά τους προσήλωση εἰς τά ὅσια καί ἱερά τῆς πίστεως. Οἱ ἱεροί αὐτοί χῶροι γίνονται σημεῖα ἑνότητος, ὅταν οἱ Συμιακοί συγκεντρώνονται γιά νά προσευχηθοῦν καί τόποι χαρᾶς, προσφορᾶς, ἀγάπης, καί παρηγοριᾶς, χῶροι ἀναβίωσης παραδοσιακῶν ἠθῶν καί ἐθίμων.

Μετ᾽ εὐχαριστήσεως διαπιστώσαμεν, ὅτι εἰς τήν Σύμη τιμῶνται Ἅγιοι τῆς Ἐκκλησίας μας, πού ἐκτός ἀπό τήν σύντομη ἀναφορά τους εἰς τά καθημερινά συναξάρια, ἰδιαιτέρα τιμή ἐπί τῇ μνήμῃ τους, τούς ἀποδίδεται εἰς τήν Νῆσον μας. Μία ἐξ αὐτῶν τῶν περιπτώσεων, ἰδιαιτέρας τιμῆς εἰς τήν Σύμην, εἶναι τῆς Ἁγίας Μάρτυρος Ἑλικωνίδος, τῆς ὁποίας ἡ μνήμη ἑορτάζεται τήν 28ην Μαΐου.

Ἰδιαιτέρα ἐντύπωσιν προκαλεῖ τό γεγονός, ὅτι ἐνῶ ἡ Ἁγία, ὅπως ἀναφέρει ὁ Συναξαριστής, ἐγεννήθη ἐν Θεσσαλονίκῃ τό ἔτος 238-244 μ.Χ. καί ἐν συνεχείᾳ μετακόμισε εἰς τήν Κόρινθον, ὅπου ἐμαρτύρησε δι᾽ ἀποκεφαλισμοῦ, εἰς τήν Σύμην ὑπάρχει κοιμητηριακός Ναός τῆς Ἁγίας Ἑλικωνίδος, ὁ ὁποῖος ἐκτίσθη τό ἔτος 1924, ὅταν οἱ Ἰταλοί κατακτητές ἀπαγόρευσαν τήν χρῆσιν τοῦ παλαιοῦ κοιμητηρίου τοῦ Ἁγίου Ἰωάννου στόν Αἰγιαλό. Κτήτωρ αὐτοῦ ὑπῆρξε ἐπιφανής Δημογέρων κάτοικος Σύμης, ὀνόματι Κωνσταντῖνος Κρανίδης, καταγόμενος ἐκ Κρανιδίου Ἀργολίδος, κωμοπόλεως γειτνιαζούσης μετά τῆς Κορινθίας γῆς, τόπου ἀθλήσεως καί μαρτυρίου τῆς Ἁγίας. Ἕνας ἄλλος λόγος συνδέσεως τῆς Ἁγίας μέ τήν νῆσον Σύμη εἶναι τό γεγονός, ὅτι τό παραθαλάσσιο Κρανίδι Ἀργολίδος ἐφημίζετο καί ἐκεῖνο διά τήν ναυπηγοσύνη καί τήν ναυπηγομαραγκοσύνη ὅπως ἄλλωστε καί ἡ Σύμη, ἡ ἐπαγγελματική λοιπόν ἐνασχόληση τῶν κατοίκων τῶν δύο αὐτῶν τόπων καί ἡ συνεργασία των, ἔφεραν καί τήν γνωριμία τῆς Ἁγίας τοῦ Κρανιδίου μέ τήν Σύμην.

Ὅμως, διαπιστώνομεν ὅτι ἡ μνήμη τῆς Ἁγίας ὑπῆρχε ἤδη εἰς τήν Σύμη καί μάλιστα ὡς φαίνεται ἐκ τῆς προφορικῆς παραδόσεως ἔχει σχέσιν μέ τούς σπογγαλιεῖς τῆς Νήσου. Συγκεκριμένα ἀναφέρεται, ὅτι περί τό ἔτος 1909 σπογγαλιεύς Συμαῖος, ὀνόματι

Γεώργιος Χάσκας, εὑρισκόμενος ἐν τῇ θαλάσσῃ, τῆς ἐν Τριπόλει τῆς Λιβύης, διά τά πρός τό ζῆν, εἶδε ἐπιπλέουσα ὀρθίαν ξύλινην εἰκόνα, ἀνασύρας αὐτήν μετ᾽ εὐσεβείας, τήν ἔφερε ἐπιστρέφοντας ἐν Σύμῃ εἰς τό σπίτι του, ἀφήνοντας παραγγελία στήν ἐγκυμονοῦσα σύζυγό του, ὅτι ἐφ᾽ ὅσον τό παιδί τους γεννηθεῖ θῆλυ νά τό ὀνομάσουν Ἑλικωνή, δηλαδή τό ὄνομα τῆς εἰκονιζομένης Ἁγίας.

Ἔτσι καί ἔγινε, ἐν συνεχείᾳ ἡ ἐπονομασθεῖσα Ἑλικωνίδα Χάσκα, ἐδώρησε τό εἰκόνισμα τῆς Ἁγίας εἰς τήν κόρη της Χαμιώτισσα Νικολίτση, ἐν ζωῇ σήμερα, νεωκόρος τοῦ Ἱεροῦ Ἐνοριακοῦ Ναοῦ Ἁγίου Ἀθανασίου Σύμης, ἡ ὁποία στήν συνέχεια τήν προσέφερε στόν ἐκεῖσε Ἱερό Ναό, ὅπου μέχρι σήμερα φυλάσσεται.

Πολλές εἶναι οἱ διηγήσεις περί τῶν θαυματουργῶν παρεμβάσεων τῆς Ἁγίας ὑπέρ τεκνοποιήσεως Γυναικῶν καί ἐν συνεχείᾳ τῆς ὀνοματοδοσίας τῶν τεχθέντων θυγατέρων των, ἐπ᾽ ὀνόματι τῆς Ἁγίας Ἑλικωνίδος, γι᾽ αὐτό καί τό ὄνομα συναντᾶται συχνά στήν Σύμη.

Θεωροῦμε ὅτι, ἡ πρώτη εἰκόνα πού ἦλθε εἰς τήν Σύμη καί ἐξ αὐτῆς ἐκαθιερώθη ἡ τιμή τῆς Ἁγίας, εἶναι αὐτή πού εὑρίσκεται σήμερα στόν Ἱερό Ναό Ἁγίου Ἀθανασίου καί ἀντίγραφα αὐτῆς ὑπάρχουν στόν Ἱερό Ναό Ἁγίου Δημητρίου, εἰς τόν ὁμώνυμον τῆς Ἁγίας κοιμητηριακόν Ναόν, καί στήν Ἱερά Μονή Ρουκουνιώτου, ὅπου ἐκεῖ ἡ Ἁγία Ἑλικωνίς εἰκονίζεται ὁμοῦ μέ τήν Ἁγία Ὡραιοζήλη, ἥτις ἑορτάζει τήν 25ην Ἰουλίου. Διά τήν συγκεκριμένην εἰκόνα ὁ Μακαριστός Πανορμιτινός Ἀρχιμανδρίτης Ἱερόθεος Κοενάκης ἀφηγεῖτο περί τῆς μητρός του Ἑλικωνίδος Κοενάκη, τό γένος Τσαβαρῆ, ὅτι πρίν ἐκείνη γεννηθεῖ, ἡ δική της μητέρα εἶχε ἐπανειλημμένες ἀποβολές. Ὅταν κατάφερε νά γεννήσει ἕνα κορίτσι, τοῦ ἔδωσαν τό ὄνομα τῆς πεθερᾶς της, μά ἐκεῖνο πέθανε. Ἀκολούθησε καί μιά δεύτερη γέννα, ἀλλά κατόπιν ἐπιμόνου ἀπαιτήσεως τῆς πεθερᾶς, τό κορίτσι βαπτίστηκε παρομοίως μέ τό ἴδιο ὄνομα τῆς πεθερᾶς, ἀλλά δυστυχῶς ἀκολούθησε καί ἐκεῖνο τήν ἴδια θλιβερή κατάληξη. Μετά ἀπό τά δυσάρεστα αὐτά γεγονότα, ἡ γιαγιά του, θέλοντας νά προσευχηθεῖ, πῆγε μιά μέρα μέ τήν ἐξαδέλφη της στήν Μονή τοῦ Ἀρχαγγέλου Μιχαήλ τοῦ Ρουκουνιώτη. Ἐκεῖ, εἶδαν μιά εἰκόνα φορητή στό Καθολικό, τῶν Ἁγίων Ἑλικωνίδος καί Ὡραιοζήλης. Ἡ μορφή τῆς Ἁγίας Ἑλικωνίδος ἐντυπωσίασε τήν γιαγιά του, ἡ ὁποία ὑποσχέθηκε στήν Ἁγία, ὅτι ἐφ᾽ ὅσον θά γεννοῦσε καί πάλι κορίτσι, θά τοῦ ἔδινε τό ὄνομά της, Ἑλικωνίδα. Ἔτσι ἀκριβῶς καί ἔγινε. Μετά ἀπό μικρό διάστημα ἡ γιαγιά του ἔμεινε ἔγκυος καί ἔφερε στόν κόσμο ἕνα ὑγιέστατο κοριτσάκι, τήν μητέρα τοῦ Γέροντος Ἱεροθέου, τήν ὁποία ὀνόμασαν Ἑλικωνίδα καί ἔζησε μέχρι τά βαθιά της γεράματα.

Ἐκ τῶν ἀνωτέρω διαπιστώνομεν ὅτι ἡ τιμή τῆς Ἁγίας Ἑλικωνίδος στήν Σύμη ὑπάρχει ἐδῶ καί 110 περίπου χρόνια, ἄνευ σχετικῆς ἑορτίου ἀκολουθίας, ἀλλά τροποποιη-

μένη ἐψάλετο ἡ ἀκολουθία τῆς Ἁγίας Μαρίνης, διασκευασμένη μόνον ὡς πρός τό ὄνομα τῆς Ἁγίας. Διά τοῦτο ἀπευθύνθημεν εἰς τόν ἀγαπητόν ἐν Χριστῷ ἀδελφόν Ἅγιον Ρόδου κ. Κύριλλον, γνωστόν καί χαρισματικόν ταλαντοῦχον ὑμνογράφον τῆς Ἐκκλησίας μας, ὁ ὁποῖος συνέθεσε πλήρην ᾀσματικήν ἀκολουθία τῆς Ἁγίας Ἑλικωνίδος, τήν ὁποίαν καί δημοσιεύομεν μέ τήν παροῦσαν πρώτην ἔκδοσιν, μετά ἱστορικοῦ καί φωτογραφικοῦ ὑλικοῦ τῶν ἐν Σύμῃ Ἱερῶν Εἰκόνων τῆς Ἁγίας πρός ἱκανοποίησιν καί ἁγιασμόν τῶν φιλακολούθων καί φιλαγίων χριστιανῶν μας, εὐχόμενοι ὅπως ἡ Ἁγία μέ τό ζωντανό παράδειγμά της, ἐμπνέῃ καί ἐνδυναμώνῃ τό ἀγωνιστικό φρόνημα καί τήν ἀκλόνητον πίστιν πρός τόν Ἀναστάντα Κύριόν μας ὥστε εἰς αὐτούς τούς δυσκόλους καί χαλεπούς καιρούς πού διανύομεν καί ἡμεῖς, ἡ Χάρις καί οἱ μεσιτεῖες της νά μᾶς σκεπάζουν καί νά μᾶς προστατεύουν.

Μετ᾽ εὐχῶν διαπύρων

Ὁ Μητροπολίτης

† ὁ Σύμης Χρυσόστομος




*Ἡ πρώτη ἐν Σύμῃ Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος,*
*εὑρισκομένη εἰς τόν Ἐνοριακόν Ναόν τοῦ Ἁγίου Ἀθανασίου Σύμης.*

# ΑΚΟΛΟΥΘΙΑ
## τῆς Ἁγίας καὶ Πανευφήμου
## ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΕΛΙΚΩΝΙΔΟΣ
## τῆς ἐν Κορίνθῳ ἀθλησάσης

**Ἧς ἡ Μνήμη τῇ ΚΗʹ Μαΐου**

*Ποιηθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη, Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.*

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δʹ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δʹ. Ἔδωκας σημείωσιν.

Σήμερον συνέλθωμεν, ἀγαλλιώμενοι πνεύματι, φιλεόρτων οἱ σύλλογοι, καὶ ὕμνοις τιμήσωμεν, ἁγιοπρεπέσι, τὴν καταβαλοῦσαν, ἐν μαρτυρίου συμπλοκαῖς, τὰς παρατάξεις τῆς ματαιότητος, καὶ ταύτῃ ἐκβοήσωμεν· Ἑλικωνὶς παμμακάριστε, τὸν Δεσπότην ἱλέωσαι, τοῖς τελοῦσι τὴν μνήμην σου.

Δύναμιν τὴν ἄμαχον, ἐνδεδυμένη τῆς πίστεως, τῶν τυράννων οὐκ ἔπτηξας, τὸ ἄθεον φρύαγμα, Μάρτυς Ἀθληφόρε, καὶ τούτων καθεῖλες, τὴν δυναστείαν ἀνδρικῶς, ἐν τῷ σταδίῳ ἀνδραγαθήσασα. Διὸ τοὺς ἐκτελοῦντάς σου, Ἑλικωνὶς τὸ μνημόσυνον, ἐν τῷ βίῳ προστάτευε, ταῖς ἁγίαις πρεσβείαις σου.

Νόμιμον διήθλησας, τὸ τῶν Μαρτύρων ἀγώνισμα, καὶ τὴν πίστιν ἐτήρησας, τὸν δρόμον ἐτέλεσας, καὶ δικαιοσύνης, τὸ ἄφθαρτον στέφος, Ἑλικωνὶς Μάρτυς σεμνή, τῇ ζωηφόρῳ παλάμῃ ἔλαβες. Διό σε ἱκετεύομεν, ἀπὸ κινδύνων καὶ θλίψεων, ταῖς εὐχαῖς σου διάσωσον, τοὺς τελοῦντας τὴν μνήμην σου.

Ἔμψυχον ἀνάθημα, καὶ λογικὸν καλλιέρημα, τῷ Θεῷ προσανέθηκας, σαυτὴν προθυμότατα, ταῖς σφοδραῖς βασάνοις, καὶ τῇ ἀποτμήσει, τῆς ἱερᾶς σου κεφαλῆς· διὸ τὴν δόξαν ἐκληρονόμησας, Χριστὸς ὥσπερ

ὑπέσχετο, Ἑλικωνὶς ὁ δωρούμενος, διὰ σοῦ τοῖς ὑμνοῦσί σε, τῶν πταισμάτων τὴν ἄφεσιν.

Δόξα. Ἦχος α΄.

Σοφίας Θεοῦ πεπληρωμένη, εἰδωλικὴν ἀπάτην διήλεγξας, καὶ ἔμψυχος θυσία ἐτελειώθης, ὡς ἀμνὰς Λογική, τῷ ξίφει σφαγιασθεῖσα, Ἑλικωνὶς παμμακάριστε. Ὅθεν ἐν τῷ νυμφῶνι τῆς ζωῆς, εὐκλεῶς χοροβατοῦσα, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις Ἑλικωνίς, ἡ Μάρτυς ἐν Παρθένοις· ἡμῶν μὴ ἐπιλάθῃ, Ναῷ σου ἐν ἁγίῳ, συναθροισμένων σήμερον.

Στίχ. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Πόθον Ἑλικωνίς, θεοσεβείας σχοῦσα, τυράννων μισοθέων, ἐπάτησας τὸ θράσος, καὶ δόξῃ ἐστεφάνωσαι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Μάρτυς Ἑλικωνίς, δυσώπει παῤῥησίᾳ, τὸν θεῖόν σου Νυμφίον, τοῖς μακαρίζουσί σε, δωρήσασθαι συγχώρησιν.

Δόξα. Ἦχος δ΄.

Ἐν Μαρτύρων στάσει, ὑπὲρ φύσιν διαπρέψασα, νικητικὰ ἐδέξω τὰ βραβεῖα, Ἑλικωνὶς πανεύφημε. Ὅθεν πρέσβευε Χριστῷ, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς

«Νῦν ἀπολύεις», τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τό «Μακάριος ἀνήρ». Εἰς δὲ τό «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχ. στ´ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Τὴν μνήμην σου ἄγοντες πιστῶς, σήμερον συνήλθομεν, Ἑλικωνὶς παμμακάριστε, καὶ ἀνακράζομεν· Ἀθληφόρε Μάρτυς, τῶν Μαρτύρων καύχημα, Χριστῷ τῷ ἀθανάτῳ Νυμφίῳ σου, θερμῶς ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Μισήσασα πρόσκαιρον τρυφήν, ὡς Χριστὸν ποθήσασα, Ἑλικωνὶς Μάρτυς πάνσεμνε, αὐτῷ συνήρμοσαι, ἀπειλὰς τυράννων, δυσμενῶν πατήσασα, καὶ δρόμον μαρτυρίου τελέσασα· Αὐτὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τὸν ἔρωτα ἔχουσα Χριστοῦ, ἐν ψυχῇ θερμότατον, Ἑλικωνὶς διὰ πίστεως, βασάνων ἤνεγκας, τὰς πολλὰς αἰκίας, καὶ τῷ ξίφει ἤθλησας, καὶ δόξης ἀθανάτου ἠξίωσαι. Ὅθεν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἦχος β´. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς παρθένον ἀκήρατον, καὶ ἀήττητον Μάρτυρα, συνελθόντες σήμερον εὐφημοῦμέν σε· σὺ γὰρ ποθοῦσα τὸν Κύριον, τὴν πίστιν ἐτήρησας, καὶ ὁδὸν Ἑλικωνίς, μαρτυρίου διήνυσας, καὶ κατέπαυσας, ἐν αὐλαῖς τοῦ Θεοῦ ἐκδυσωποῦσα, ὑπὲρ πάντων τῶν τελούντων, τὴν ἀξιέπαινον μνήμην σου.

Τῶν ἀθέων τὸ φρύαγμα, ῥωμαλέως ὑπήνεγκας, καὶ εἰδώλων ᾔσχυνας τὴν παράταξιν, θεοῖς ματαίοις μὴ θύσασα, καὶ καθυπομείνασα, τὰς βασάνους τῆς σαρκός, καὶ τῷ ξίφει ἀθλήσασα. Ὅθεν πάντοτε, παῤῥησίᾳ δυσώπει τὸν Σωτῆρα, τὰς ψυχὰς ἡμῶν σωθῆναι, Ἑλικωνὶς τῶν τιμώντων σε.

Εὐωδίαν μυρίπνοον, δωρημάτων τῆς χάριτος, ἀποπνέει μνήμη σου ἡ σεβάσμιος, ἐν ᾗ κροτοῦντες τοῖς ᾄσμασι, ναῷ ἐν ἁγίῳ σου, οἱ ἐν Σύμῃ εὐσεβεῖς, συνελθόντες βοῶμέν σοι· Ἐξ Εἰκόνος σου, τῆς τιμίας θαυμάτων σου τὴν χάριν, ἡμῖν ἄφθονον χορήγει, Ἑλικωνὶς παναοίδιμε.

Δόξα. Ἦχος πλ. β´.

Σήμερον ἑορτάζει, ἡ τῶν πιστῶν Ἐκκλησία, τελοῦσα τὴν μνήμην σου, Ἑλικωνὶς πανεύφημε, Θεσσαλονίκης βλάστημα· ἀκλινεῖ γὰρ λογισμῷ, ἐν παρθενικῇ ὡραιότητι, τοῦ μαρτυρίου τὴν ὁδόν, μετὰ βασάνους πολυτρόπους, ἐν Κορίνθῳ τελέσασα, πρὸς ἀειζώους ἤρθης μονάς, καὶ κατεσκήνωσας Ἁγίων, ἐν ἀνεσπέροις λαμπρότησιν· ἔνθα εὐφραινομένη, τῷ ἀκτίστῳ φωτί, τὸν φωτισμὸν ἐξαίτει, ταῖς ψυχαῖς τῶν τιμώντων σε.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Εἴσοδος, τό «Φῶς ἱλαρόν», τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα΄, 10,13-20,25)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε΄, 15-6,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνεται σήμερον, ὁ ἐν Σύμῃ φιλόχριστος Λαός, πανηγυρίζων τὴν μνήμην σου, Ἑλικωνὶς καλλιπάρθενε· λιμένα γὰρ γαληνότατον, καὶ ὅρμον ἀκλυδώνιστον, τὸν ἱερόν σου ἐκτήσατο Ναόν, καὶ θησαυρὸν ἀτίμητον, κατέχει τὴν Εἰκόνα σου, θαυμάτων ῥεῖθρα ἀναβλύζουσαν· ἐν ἀμφοτέροις δὲ καυχώμενος, καὶ τῆς προστασίας σου, μετὰ πίστεως ἐπιδεόμενος, τὸν ἐν Τριάδι δοξάζει Θεόν, τὸν θαυμαστὸν ἐν σοὶ ὡς γέγραπται.

Ὁ αὐτός.

Σήμερον μυστικὴν θυμηδίαν ἀκήρατον, καὶ πνευματικὴν πανδαισίαν, φιλομαρτύρων ταῖς τάξεσιν, ἡ καλλιμάρτυς Ἑλικωνὶς ἡτοίμασε. Δεῦτε οὖν πιστοὶ συνευφρανθῶμεν, καὶ πανηγυρίζοντες, ὁμοφώνως βοήσωμεν· Ἀθληφόρε πανεύφημε, Θεσσαλονίκης τὸ βλάστημα, καὶ Κορίνθου τὸ καύχημα, ἡ μαρτυρίου ἀγωγαῖς, τὴν πίστιν τηρήσασα, καὶ τὸν δρόμον τελέσασα, ἐν οὐρανοῖς δοξαζομένη, πρέσβευε ὑπὲρ ἡμῶν, τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ἀθληφόρε ἔνδοξε, Ἑλικωνὶς πανεύφημε, Παρθενομάρτυς δεδοξασμένη, τεθωρακισμένη τῷ Σταυρῷ, τοῦ γλυκυτάτου Νυμφίου σου, δυνάμει τοῦ Πνεύματος, βουλὰς τυράννων ἠκύρωσας, καὶ μαρτυρίου ἐν στάσει, ῥωμαλέως διέπρεψας. Ὅθεν τῆς ἄνω χαρᾶς, ἐν νυμφῶνι τῷ θείῳ κοινωνήσασα, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐν Ναῷ σου συναθροισθέντων, καὶ τελούντων τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. α΄.

Σήμερον ἐν τῇ τοῦ ἔαρος ὥρᾳ, ἔαρ ἄλλο πνευματικόν, τῆς Ἀθληφόρου ἡ μνήμη, τῇ οἰκουμένῃ ἐπεδήμησε, καὶ εὐφροσύνης μυστικῆς, πρόξενος γίνεται, τοῖς εὐσεβῶς ἀναβοῶσι· Χαίροις ἡ θωπείας ἀπατηλάς, καὶ ἀπειλὰς τυραννικάς, διαφευξαμένη τῷ πόθῳ τοῦ Νυμφίου σου, καὶ αὐτῷ ἁρμοσθεῖσα μυστικῶς, δι᾽ ἐπωδύνων βασάνων, καὶ σφαγῆς καλλιπάρθενε. Ὅθεν αὐτὸν δυσώπει, Ἑλικωνὶς παμμακάριστε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε φιλομάρτυρες πιστοί, τὴν Ἑλικωνίδα τὴν θείαν, ἐν κατανύξει ψυχῆς, σήμερον ὑμνήσωμεν, φαιδρῶς τοῖς ᾄσμασιν, ὅτι πόνοις ἀθλήσεως, Χριστῷ ἁρμοσθεῖσα, τὸν νυμφῶνα ᾤκησε, τὸν ἐπουράνιον, δόξης ἀθανάτου τρυγῶσα, καὶ ὑπὲρ ἡμῶν δεομένη, ἵνα χάριν εὕρωμεν καὶ ἔλεος.

Στίχ. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Ὅλη τοῦ Νυμφίου σου Χριστοῦ, νοητῆς χαρᾶς πληρουμένη, ἐν ἀπαρνήσει σαυτῆς, τῆς σαρκὸς ὑπέμεινας, τὰ κολαστήρια, καὶ θυσία ὑπέρτιμος, Κυρίῳ προσήχθης, τὴν σφαγὴν ὡς ἄσαρκος, καθυπομείνασα. Ὅθεν

ἐν Ἐδὲμ δοξασθεῖσα, ὦ Ἑλικωνὶς μακαρία, τῶν μακαριζόντων σε μνημόνευε.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Σύμης ὁ φιλόχριστος λαός, σήμερον τιμᾷ σου τὴν μνήμην, Ἑλικωνὶς θαυμαστή· θεῖον γὰρ ἐκτήσατο, λιμένα πάνσεμνε, τὸν ναόν σου τὸν ἅγιον, καὶ πλοῦτον κατέχει, τὴν σεπτὴν Εἰκόνα σου, ἰάσεις βλύζουσαν. Ὅθεν τῇ σεπτῇ σου πρεσβείᾳ, φύλαττε αὐτὸν ἐκ κινδύνων, καὶ ἐπιδρομῆς ἐχθρῶν πανεύφημε.

Δόξα. Ἦχος β΄.

Ἀθληφόρε Κυρίου, Ἑλικωνὶς πανένδοξε, ἐν καμίνῳ βασάνων ἐδοκιμάσθης, τῷ πόθῳ τοῦ γλυκυτάτου ἐραστοῦ, καὶ χρυσὸς πολύτιμος ἀποστίλβων, εὑρέθης αὐτῷ τῷ σὲ δοξάσαντι. Ὅθεν πρέσβευε αὐτῷ, ὑπὲρ ἡμῶν τῶν εὐσεβῶς, ἐν Ναῷ σου συναθροισθέντων, καὶ ὑμνούντων τὴν θείαν σου ἄθλησιν.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς

«Νῦν ἀπολύεις», τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστῷ προσενήνεξαι, ὡς προσφορὰ ἐκλεκτή, τυράννου τῷ δόγματι, Ἑλικωνὶς θαυμαστή, τμηθεῖσα τὴν κάραν σου· σὺ γὰρ ἀῤῥενωθεῖσα, Παρακλήτου τῇ ῥώμῃ, ἤθλησας ὑπὲρ φύσιν, καὶ τὴν πλάνην καθεῖλες· διὸ ἀεὶ δυσώπει, ὑπὲρ τῶν τιμώντων σε.

Ἕτερον. Ὅμοιον.

Ναῷ ἐν ἁγίῳ σου, οἱ ἐν τῇ Σύμῃ πιστοί, συνήλθομεν σήμερον, Ἑλικωνὶς εὐσεβῶς, τελοῦντες τὴν μνήμην σου· ῥύου ἡμᾶς ἐκ νόσων, καὶ παντοίων κινδύνων· τήρει τὴν νῆσον ταύτην, ἐν εἰρήνῃ τελείᾳ, πρεσβείαις σου εὐπροσδέκτοις, πρὸς τὸν Φιλάνθρωπον.

Τὸ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Γεραίρομεν πιστοί, τὴν στεῤῥὰν ἄθλησίν σου· τυράννων γὰρ σαφῶς, τὸν ὑψαύχενα τῦφον, εἰς γῆν καταβέβληκας, καὶ τὴν πίστιν ἐτράνωσας, καλλιπάρθενε, Ἑλικωνὶς μακαρία. Ὅθεν πρέσβευε, ἐλεηθῆναι καὶ σῶσαι, ἡμᾶς τὸν Φιλάνθρωπον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ΄. Θείας πίστεως.

Θείῳ ἔρωτι κραταιουμένη, ζήλῳ ἔδραμες, πρὸς μαρτυρίου, τοὺς μεγίστους ἀγῶνας πανεύφημε, καὶ διὰ ξίφους τὸν δρόμον τελέσασα, Ἑλικωνὶς ἐν ὑψίστοις δεδόξασαι. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Θεῷ προσενήνεξαι, θυσία ζῶσα σεμνή, βασάνοις τὸ σῶμά σου, ἀναλωθεῖσα πολλαῖς, καὶ ξίφει ἀθλήσασα· ἔπαυσας τῶν εἰδώλων, τὰς ἀλόγους θυσίας· ἔφανας σωτηρίου, τὴν ἀνέσπερον αἴγλην· διὸ Ἑλικωνὶς τῷ Θεῷ, ὑπὲρ ἡμῶν πρέσβευε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον, ζήτει τῇ κε΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Δεῦτε πιστοί, Ἑλικωνίδα τὴν Μάρτυρα, ᾀσματικῶς τιμήσωμεν, ὅτι ἰσχὺν μαρτυρικήν, τυράννῳ ἀντιταξαμένη, καὶ λογικὴ ὡς ἀμνάς, τὴν σφαγὴν ὑπομείνασα, θεώσεως τῆς δρόσου, ἐν μετοχῇ γεγένηται, Τριάδος τῆς Ἁγίας, τῷ θρόνῳ παρισταμένη, καὶ πρεσβεύουσα ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες, ὁ τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς στ΄, καὶ τῆς Ἁγίας εἰς στ΄. Κανὼν τῆς Ἁγίας, φέρων Ἀκροστιχίδα κατ᾽ Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις· «Κυρίλλου».

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἀνευφημήσωμεν πιστοὶ χορεύοντες, τὴν Ἀθληφόρον Χριστοῦ, νῦν Ἑλικωνίδα,

καὶ συμφώνως κράξωμεν· Παρθενομάρτυς πρέσβευε, τῇ Ἁγίᾳ Τριάδι, ἵνα εἰρήνην δωρήσηται, ταῖς ψυχαῖς ἡμῶν τῶν τιμώντων σε.

Βεβαιωθεῖσα τοῦ Χριστοῦ τοῖς ῥήμασιν, ὁμολογίᾳ τῇ σῇ, εἰδωλικῆς πλάνης, τὴν λατρείαν ἤσχυνας, καὶ τῇ σφαγῇ σου ἔκτεινας, τῶν δαιμόνων τὸ θράσος· Ἑλικωνὶς διὸ ἔτυχες, τῆς τῶν ἐκλεκτῶν ἀπολαύσεως.

Γνώμῃ τελείᾳ τὸν Χριστὸν κηρύξασα, ἐπὶ τυράννων στεῤῥῶς, καὶ ἀποτμηθεῖσα, κεφαλὴν τὴν πάντιμον, εἰς βασιλείας ἔδραμες, οὐρανῶν τὸν νυμφῶνα· Ἑλικωνὶς διὸ πρέσβευε, ὑπὲρ τῶν πιστῶς εὐφημούντων σε.

Θεοτοκίον.

Καταιγιζόμενος σφοδρῶς ὁ ἄθλιος, ταῖς προσβολαῖς τῶν παθῶν, καὶ εἰς ἁμαρτίας, κινδυνεύων βάραθρα, τῇ μητρικῇ σου χάριτι, καταφεύγω κραυγάζων· Ἀντιλαβοῦ μου καὶ σῶσόν με, Μῆτερ τοῦ Θεοῦ ὡς φιλεύσπλαγχνος.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Δυνάμει τῆς πίστεως, Ἑλικωνὶς ἐταπείνωσας, φθοροποιοῦ πλάνης τῶν εἰδώλων, τὸ ληρῶδες γαυρίαμα.

Ἐνδόξως ἐνήθλησας, Ἑλικωνὶς θεοδόξαστε, τῷ τοῦ Χριστοῦ πόθῳ μὴ φεισθεῖσα, τῆς σαρκός σου ὡς πάνσοφος.

Ζητοῦσα ἀπόλαυσιν, Ἑλικωνὶς ἀτελεύτητον, τοὺς τῆς σαρκὸς πόνους καθυπέστης, καὶ τῷ ξίφει ἐνήθλησας.

Θεοτοκίον.

Ὑπέραγνε Δέσποινα, ἡ φῶς τεκοῦσα τὸ ἄχρονον, τὰς τῆς ψυχῆς φώτισον αἰσθήσεις, τῶν ὑμνούντων τὴν δόξαν σου.

Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐναντίον τυράννων, Χριστὸν κηρύξασα, πολυειδέσι βασάνοις, ἐδοκιμάσθης σφοδρῶς, καὶ ὑπέκλινας στεῤῥῶς, ξίφει τὴν κάραν σου, Ἑλικωνὶς Μάρτυς σεμνή· ἀλλ᾽ ἐκδυσώπει τὸν Θεόν, ὡς παῤῥησίαν πλουτοῦσα, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν φωτοφόρον σου πανήγυριν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἠγωνίσω ὡς ἄσαρκος, ἁπαλῷ ἐν σώματι καὶ κατίσχυσας, Ἀθληφόρε τοῦ ἀλάστορος, ἐν μαρτυρικῷ σου παραστήματι.

Θεολόγῳ ἐν στόματι, τὸν Χριστὸν ἐκήρυξας μόνον Κύριον, Ἀθληφόρε καὶ κατήσχυνας, τῆς θεοεχθρίας τὴν παράταξιν.

Ἱερεῖον εὐπρόσδεκτον, τῷ Κυρίῳ πάνσεμνε προσενήνεξαι, τὰς βασάνους ὑπομείνασα, καὶ σφαγιασθεῖσα διὰ πίστεως.

Θεοτοκίον.

Ῥυπωθέντα τοῖς πταίσμασιν, ῥείθροις με ἀπόπλυνον τῆς σῆς χάριτος, ἵνα τόκον σου τὸν ἄχραντον, μακαρίζω Κόρη Ἀειπάρθενε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Κοσμουμένη ἐνθέως, παρθενίας κάλλεσι καὶ διαλάμπουσα, πίστεως τῇ αἴγλῃ, τῷ τυράννῳ παρέστης ἀήττητος, Μάρτυς Ἀθληφόρε, Ἑλικωνίς· διὸ τὸ στέφος, ὑπεδέξω τῆς νίκης ἀμάραντον.

Λαμπρυνθεῖσα ἀγώνων, τῶν μαρτυρικῶν σου τερπνῇ ὡραιότητι, μυστικοῦ νυμφῶνος, τῆς ἀλλήκτου μετέσχες τερπνότητος, ἐν τοῖς οὐρανίοις, Ἑλικωνὶς ἔνθα χορεύεις, τοῦ Νυμφίου ὁρῶσα τὴν ἔλλαμψιν.

Μαρτυρίου τὸν δρόμον, τοῦ Χριστοῦ τῷ ἔρωτι ἐπιτελέσασα, τάξεσι συνήφθης, ἐν ὑψίστοις τῶν ἄνω Δυνάμεων· ὅθεν μὴ ἐλλίπῃς, Ἑλικωνὶς ἐκδυσωποῦσα, τοῦ σωθῆναι τοὺς πίστει ὑμνοῦντάς σε.

Θεοτοκίον.

Ἱλασμὸς τοῖς ἀνθρώποις, γέγονεν ὁ τόκος σου ὁ ὑπερύμνητος, τὴν ἀδαμιαίαν, καταλύσας ἀρχαίαν παράβασιν. Ὅθεν ἐκ καρδίας, εὐχαριστίας Θεοτόκε, ἀναμέλπομεν ὕμνον τῇ δόξῃ σου.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Νικηφορίαις φαιδραῖς, τοῦ μαρτυρίου ἐκλάμπουσα, Ἑλικωνὶς τῷ Χριστῷ, ἐν δόξῃ παρίστασαι· αὐτῷ οὖν ἱκέτευε, ὑπὲρ σωτηρίας, τῶν ψυχῶν ἡμῶν δεόμεθα.

Ξενήκουστος ἀληθῶς, ἡ ἐν σταδίῳ ἀνδρεία σου· ὡς γλυκασμὸν γὰρ σαρκός, βασάνων τὴν ἔφοδον, ὦ Μάρτυς ὑπέμεινας, ἀγαλλιωμένη, τῇ ἐλπίδι τοῦ Νυμφίου σου.

Ὅπλον Χριστοῦ τὸν Σταυρόν, Ἑλικωνὶς περιφέρουσα, συνασπισμὸν μυσαρόν, δαιμόνων διέλυσας, καὶ ἦρας πανεύφημε, κατ᾽ αὐτῶν τὸ κράτος, δυναστείᾳ τῶν ἀγώνων σου.

Θεοτοκίον.

Λαμπάδι τῇ νοητῇ, τῆς μητρικῆς εὐσπλαγχνίας σου, παθῶν μου τὸν σκοτασμόν, τελείως διάλυσον, καὶ σῶσόν με Ἄχραντε, ἀνυμνολογοῦντα, τὸ μυστήριον τοῦ τόκου σου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἀρρενωθεῖσα τῇ ψυχῇ ῥώμῃ τῆς πίστεως,
ξίφους ἀκμῇ Ἑλικωνὶς θυσία ἔμψυχος,
τῷ ὡραίῳ σου Νυμφίῳ ἐτελειώθης,
τῷ τῆς νίκης σοι τὸ στέφος ἀποδώσαντι,
καὶ πρεσβείαις σου εἰρήνην πρυτανεύοντι,
τοῖς βοῶσί σοι· Χαίροις, Μάρτυς πανεύφημε.

Ὁ Οἶκος.

Ἐν φωτὶ τοῦ Κυρίου, ὡς καταλαμπομένη, ἠμαύρωσας εἰδώλων τὸ σκότος, ἐνστάσει σου τῇ μαρτυρικῇ, Ἑλικωνὶς Ἀθληφόρε πανεύφημε, καὶ δόξῃ ἐστεφάνωσαι· διὸ ἀκούεις παρὰ πάντων·

Χαῖρε, τὸ ξίφος τῆς παῤῥησίας·
χαῖρε, ὁ ἄκμων τῆς εὐσθενείας.

Χαῖρε, εὐσεβείας τερπνότατον βλάστημα·
χαῖρε, Ἐκκλησίας ὑπέρλαμπρον καύχημα.

Χαῖρε, λόγοις ἡ αἰσχύνασα τῶν τυράννων
τὴν ὀφρύν·
χαῖρε, ἄθλοις ἡ συντρίψασα τῶν δαιμόνων
τὴν ἰσχύν.

Χαῖρε, ὅτι ἐκλάμπεις ὡς φωστὴρ ἐν Ἁγίοις·
χαῖρε, ὅτι αὐγάζεις ὡς ἀστὴρ ἐν παρθένοις.

Χαῖρε, πιστῶς τὸν δρόμον τελέσασα·
χαῖρε, καλῶς τὴν πίστιν τηρήσασα.

Χαῖρε, πιστῶν μυστικὴ δᾳδουχία·
χαῖρε, ἡμῶν κραταιὰ προστασία.

Χαίροις, Μάρτυς πανεύφημε.

Μηνολόγιον.

Τῇ ΚΗ΄ τοῦ αὐτοῦ μηνός (Μαΐου), Μνήμη τῆς Ἁγίας ἐνδόξου Μάρτυρος Ἑλικωνίδος, τῆς ἐν Κορίνθῳ διὰ ξίφους ἀθλησάσης.

Στίχοι.

Ἑλικωνὶς τμηθεῖσα τὴν κάραν ξίφει.
Οὐχ Ἑλικῶνα, ἀλλ᾽ Ἐδὲμ τρυφὴν ἔχει.
Εἰκάδι ὀγδοάτῃ θάν᾽ Ἑλικωνὶς ξίφους ἀκμῇ.

## Συναξάριον

Αὕτη ἡ καλλίνικος τῆς εὐσεβείας Παρθενομάρτυς ἐγεννήθη ἐν Θεσσαλονίκῃ, ἤθλησε δὲ ἐν Κορίνθῳ ἐν τοῖς χρόνοις τῶν βασιλέων Γορδιανοῦ τοῦ Γ΄ (238-244 μ.Χ.) καὶ Φιλίππου, ὅτε διωγμὸς ἐκινήθη κατὰ τῶν Χριστιανῶν. Τότε αὕτη ἡ μακαρία Ἑλικωνὶς συλληφθεῖσα ὑπὸ τοῦ Ἄρχοντος τῆς πόλεως Περινίου καὶ ὁμολογήσασα τὴν καλὴν ὁμολογίαν καὶ μὴ πεισθεῖσα ἀρνήσασθαι τὸ ὄνομα τὸ Δεσποτικόν καὶ θῦσαι θυσίαν βδελυκτὴν τῷ Ἀσκληπιῷ, σφοδραῖς βασάνοις καθυπεβλήθη, ἐν φυλακῇ ἐγκλεισθεῖσα, τὸ σῶμα ῥάβδοις μαστιχθεῖσα, ὑπὸ ἀγρίων βοῶν ποδοπατηθεῖσα καὶ τοὺς μαστοὺς ἀποτμηθεῖσα, ἐν πυρὸς καιομένῃ καμίνῳ βληθεῖσα καὶ ἐν λάκκῳ λεόντων ῥιφθεῖσα· ἐν πᾶσι δὲ τούτοις ἀδάμαντος ἀκμαιοτέρα δειχθεῖσα καὶ τῇ χάριτι τοῦ Θεοῦ ἀβλαβὴς διαφυλαχθεῖσα διὰ ξίφους τὸ μακάριον τέλος ἐδέξατο καὶ οὕτω θῦμα εὐαπόδεκτον καὶ προσφορὰ λογικὴ προσηνέχθη τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Εὐτυχοῦς, Ἐπισκόπου Μελιτηνῆς.

### Στίχοι.

Ὡς εὐτυχῶς σὺ εὐτύχησας τρισμάκαρ!
Θείας τετευχώς, Εὐτυχές, κληρουχίας.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

### ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.

Πᾶσα πνοή σε μακαρίζει, παμμακάριστε Κυρίου Ἀθληφόρε· μὴ οὖν παύσῃ Θεῷ, πρεσβεύουσα ῥυσθῆναι, Ἑλικωνὶς ἐκ θλίψεων, τὴν ζωὴν τῶν ὑμνητῶν σου.

Ῥώμην τὴν ἄνω δεδεγμένη, διὰ πίστεως Ἑλικωνὶς θεόφρον, τῶν ἐν γῇ δυνατῶν, συνέτριψας τὰ τόξα, καὶ πᾶσαν ἐξενεύρισας, τοῦ ἐχθροῦ τὴν πανουργίαν.

Σῶμα ἐκδοῦσα τοῖς βασάνοις, πόνους σπείρασα τῶν ἄθλων ἐν σαρκί σου, τῆς ἐλπίδος καρπούς, τοὺς θείους συνελέξω, Ἑλικωνὶς καὶ ἔλαβες, τῆς ζωῆς τὰς ἀντιδόσεις.

### Θεοτοκίον.

Λάμπρυνον Μῆτερ τὴν ψυχήν μου, ἐν τοῖς πάθεσιν ἀθλίως σκοτισθεῖσαν, καὶ φωτός με ἀεί, ἐνίσχυσον τὰ ἔργα, ἐργάζεσθαι Θεόνυμφε, ἵνα τύχω σωτηρίας.

### ᾨδὴ η΄. Τὸν Βασιλέα.

Τὸν Σταυρωθέντα, ἐκ δεξιῶν σου προβλέπων, οὐκ ἐνάρκησας, οὐκ ἔπτηξας παρθένε, λεόντων τὸν λάκκον, καὶ φλόγα τῆς καμίνου.

Ὕμνοις ἐκ πόθου, Ἑλικωνὶς σὲ τιμῶμεν, τὴν τῷ Πνεύματι τῷ Θείῳ νευρωθεῖσαν, καὶ ἁγιασθεῖσαν, ἐν ἄθλοις μαρτυρίου.

Φιλοθεΐας, Ἑλικωνὶς ἐπιδείξει, ἐταπείνωσας εἰδώλων ἀθεΐας, ὑψώσεις βλασφήμους, εἰς δόξαν τοῦ Κυρίου.

### Θεοτοκίον.

Ὅλον με πλῆσον, τῆς θεαυγοῦς χάριτός σου, ἀπελαύνουσα τὸ σκότος τῶν παθῶν μου, ἵνα σε γεραίρω, τὴν Κεχαριτωμένην.

### ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Χορεύει Ἀθληφόρε Ἑλικωνίς, Ἐκκλησίας Κυρίου τὸ πλήρωμα, ἐπὶ τῇ σῇ, σήμερον πανεύφημε ἑορτῇ· ὡς φωταυγὴς γὰρ ἥλιος, λάμπει καὶ φωτίζει ταῖς ἀστραπαῖς, τῆς θείας χάριτός σου, ψυχάς τε καὶ καρδίας, τῶν εὐσεβάστως εὐφημούντων σε.

Ψαλμοῖς σε εὐφημοῦμεν Ἑλικωνίς, τῇ σεπτῇ σου Εἰκόνι προσπίπτοντες· σὺ γὰρ Χριστοῦ, πόθῳ τετρωμένη τῷ μυστικῷ, τῶν θεομάχων ἔπαρσιν, ἔθραυσας ἐνστάσει μαρ-

τυρικῇ, καὶ γέγονας τῷ ξίφει, τμηθεῖσα τὸν αὐχένα, τερπνὴ θυσία τῷ Παντάνακτι.

Ὦ Μάρτυς Ἀθληφόρε Ἑλικωνίς, παρθενίας ὡραῖον ἀπάνθισμα, ἐν ταῖς αὐλαῖς, ἡ χοροβατοῦσα τῶν οὐρανῶν, καὶ Τρισηλίου λάμψεως, καταυγαζομένη τῷ φωτισμῷ, ὑπὲρ τῶν συνελθόντων, Ναῷ σου ἐν ἁγίῳ, Θεὸν δυσώπει τὸν φιλάνθρωπον.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία τὸν Λυτρωτήν, δι' ἡμᾶς ἀπειράνδρως ἐκύησας, δίχα τροπῆς, καὶ φυρμοῦ ὡς πάλαι οἱ θαυμαστοί, Προφῆται προεκήρυξαν· ὅθεν σοι βοῶμεν χαρμονικῶς· Παρθένε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, χαῖρε τὸ μέγα ἐγκαλλώπισμα.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἀρνησαμένη κόσμον, καὶ τὰ ἐν κόσμῳ εὐσεβῶς, τῷ μαρτυρίῳ ὑψώθης, Ἑλικωνὶς πρὸς τὸν Θεόν· διὸ προστάτευε πάντων, τῶν εὐφημούντων σε πόθῳ.

Ἕτερον. Ὅμοιον.

Τοὺς εὐλαβῶς ἑστῶτας, ἐν τῷ Ναῷ σου τῷ σεπτῷ, ἀπὸ κινδύνων καὶ νόσων, καὶ τῶν ἐν βίῳ πειρασμῶν, διάσωζε ταῖς εὐχαῖς σου, Ἑλικωνὶς Ἀθληφόρε.

Καὶ τὸ τῆς Ἑορτῆς.



## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὸν δι' ἀνθρώπων τῷ γένει, ἐνανθρωπήσαντα, Ἑλικωνὶς θεόφρον, μανικῶς ἐρασθεῖσα, τυράννων ἐναντίον κῆρυξ αὐτοῦ, τῆς Θεότητος γέγονας, καὶ ἐξεφαύλισας πλάνην εἰδωλικήν· διὰ τοῦτό σε γεραίρομεν.

Ἐν ἀνυστάκτῳ καρδίας, ὄμματι πάνσεμνε, προβλέπουσα τὸν θεῖον, τῆς ψυχῆς σου Νυμφίον, ἐχώρησας πρὸς τοῦτον μαρτυρικῶς, μὴ φεισθεῖσα τοῦ σώματος· διὸ αὐτῷ παρεστῶσα Ἑλικωνίς, τῶν τιμώντων σε μνημόνευε.

Ἀρρενωθεῖσα ἁγνείας, ῥώμῃ τὰς φρένας σου, Ἑλικωνὶς ἐδείχθης, κραταιὰ ἐν βασάνοις, καὶ θῦμα ἀνηνέχθης ξίφους ἀκμῇ, τῷ Κυρίῳ εὐπρόσδεκτον· διὸ αὐτὸν ἐκδυσώπει ὑπὲρ ἡμῶν, τῶν ἐν ὕμνοις εὐφημούντων σε.

Ἐν τῷ ἁγίῳ Ναῷ σου, ὑμνολογοῦμέν σε, Ἑλικωνὶς τιμῶντες, τὴν σεπτήν σου Εἰκόνα· σκέπε οὖν παρθένε Μάρτυς ἡμᾶς, ἐν κινδύνοις καὶ θλίψεσι, καὶ ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, ταῖς εὐχαῖς σου διαφύλαττε.

Δόξα. Ἦχος πλ. δ'.

Πᾶσα γλῶσσα κινείσθω πρὸς ὑμνῳδίαν, τῆς μακαρίας Ἀθληφόρου· φιλεόρτων δῆμοι, γηθόμενοι σήμερον, τὴν Παρθενομάρτυρα Χριστοῦ, Ἑλικωνίδα τὴν πάνσεμνον, μελῳδικῶς ἐπαινέσωμεν· σῶμα γὰρ τὸ θνη-

τόν, βασάνοις παραδοῦσα, καὶ διὰ ξίφους τῷ Θεῷ, θυσία τελεσθεῖσα, νικητικὰ τῇ κορυφῇ, τῶν χαρίτων τὰ στέφη ἐδέξατο, καὶ εἰς τὸν ἄδυτον γνόφον, τῆς ἀθανάτου εἰσέδυ ζωῆς· ἔνθα εὐφραινομένη, τῷ Νυμφίῳ πρεσβεύει Χριστῷ, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ´ καὶ στ´ Ὠδή. Ἀπόστολον ζήτει τῇ ιστ´ Κυριακῇ καὶ Εὐαγγέλιον τῇ Δευτέρᾳ τῆς δ´ Ἑβδομάδος Λουκᾶ.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.

Χαίροις ἡ ἐπάρσεις τυραννικάς, ἄθλοις μαρτυρίου, καθελοῦσα Ἑλικωνίς· χαίροις ἡ θυσία, Θεῷ προσενεχθεῖσα, σφαγιασθεῖσα ξίφει, ἀμνὰς ὡς ἄμωμος.

Τοὺς προσερχομένους πίστει θερμῇ, θείῳ ἐν Ναῷ σου, Ἀθληφόρε Ἑλικωνίς, φύλαττε εὐχαῖς σου, ἐκ βίου δυσπραγίας, καὶ ῥύου ἐκ κινδύνων, καὶ περιστάσεων.

Σύμη εὐφημεῖ σε τὸν σὸν Ναόν, ἔχουσα λιμένα, σωτηρίας Ἑλικωνίς· φύλαττε οὖν ταύτην, ἐχθρῶν ἐξ ἐπιβούλων, καὶ τήρει ἐν εἰρήνῃ, τῇ ἀντιλήψει σου.

Στίχοι.

*Ἑλικωνίδι, Κύριλλος ὁ τῆς Ῥόδου,*
*Τὴν ὑμνῳδίαν ὕφανεν γηθοσύνως.*

Ἐτελειώθη ἡ Ἀκολουθία αὕτη
τῆς Ἁγίας Παρθενομάρτυρος Ἑλικωνίδος
Μηνὶ Σεπτεμβρίῳ, τῇ κα´, ἐν ἔτει δισχιλιοστῷ καὶ εἰκοστῷ δευτέρῳ,
αἰτήσει τοῦ Σεβασμιωτάτου Μητροπολίτου Σύμης
κ. ΧΡΥΣΟΣΤΟΜΟΥ τοῦ Β´.

# ΦΩΤΟΓΡΑΦΙΚΟΝ
# ΠΑΡΑΡΤΗΜΑ




*Ἡ πρώτη ἐν Σύμῃ Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος,*
*εὑρισκομένη εἰς τόν Ἐνοριακόν Ναόν τοῦ Ἁγίου Ἀθανασίου Σύμης.*



*Ἐσωτερική ἄποψις τοῦ Ἱ. Παρεκκλησίου Ὁσίου Σάββα τοῦ ἐν Καλύμνῳ,*
*τοῦ Ἐνοριακοῦ Ναοῦ τοῦ Ἁγίου Ἀθανασίου Σύμης, ἔνθα φυλάσσεται*
*ἡ Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος.*



*Ἀεροφωτογραφία τοῦ κτιριακοῦ συγκροτήματος*
*τοῦ Ἐνοριακοῦ Ἱ. Ναοῦ τοῦ Ἁγίου Ἀθανασίου Σύμης.*




*Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, μετά ἀργυρᾶς ἐπικαλύψεως, εὑρισκομένη εἰς τόν ὁμώνυμον Κοιμητηριακόν Ναόν «Παλαμιδᾶ» Σύμης.*




*Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, μετά ἀργυρᾶς ἐπενδύσεως,*
*εὑρισκομένη εἰς τόν ὁμώνυμον Κοιμητηριακόν Ναόν «Παλαμιδᾶ» Σύμης.*



*Ἐσωτερική ἄποψις τοῦ Ἱ. Κοιμητηριακοῦ Ναοῦ τῆς Ἁγίας Ἑλικωνίδος Σύμης,*
*ἔνθα φυλάσσονται αἱ Ἱεραί Εἰκόνες τῆς Ἁγίας.*




*Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, Ἀναγεννησιακῆς τεχνοτροπίας, εὑρισκομένη εἰς τόν ὁμώνυμον Κοιμητηριακόν Ναόν «Παλαμιδᾶ» Σύμης.*



*Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, εὑρισκομένη*
*εἰς τόν ὁμώνυμον Κοιμητηριακόν Ναόν «Παλαμιδᾶ» Σύμης.*



*Ἀεροφωτογραφία τοῦ Ἱ. Κοιμητηριακοῦ Ναοῦ τῆς Ἁγίας Ἑλικωνίδος «Παλαμιδᾶ» Σύμης.*



*Ἡ κυρία εἴσοδος τοῦ Ἱ. Κοιμητηριακοῦ Ναοῦ*
*τῆς Ἁγίας Ἑλικωνίδος «Παλαμιδᾶ» Σύμης.*



*Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, μετ᾽ ἀργυροῦ φωτοστεφάνου,*
*εὑρισκομένη εἰς τόν Ἐνοριακόν Ναόν Ἁγίου Δημητρίου Σύμης.*




*Ἱερά Εἰκόνα τῆς Ἁγίας Ἑλικωνίδος, μετά σκηνῶν τοῦ βίου της,*
*εὑρισκομένη εἰς τόν Ἐνοριακόν Ναόν Ἁγίου Δημητρίου Σύμης.*



*Ἐσωτερική ἄποψις τοῦ Ἐνοριακοῦ Ναοῦ Ἁγίου Δημητρίου Σύμης,
ἔνθα φυλάσσονται αἱ Ἱεραί Εἰκόνες τῆς Ἁγίας.*



*Ἀεροφωτογραφία τοῦ κτιριακοῦ συγκροτήματος
τοῦ Ἐνοριακοῦ Ἱ. Ναοῦ Ἁγίου Δημητρίου Σύμης.*



Ἱερά Εἰκόνα τῶν Ἁγίων Ἑλικωνίδος (δεξιά) καί Ὡραιοζήλης,
εὑρισκομένη εἰς τήν Ἱερά Μονή Ταξιάρχου Μιχαήλ τοῦ Ρουκουνιώτου Σύμης.



*Ἐσωτερική ἄποψις τοῦ Καθολικοῦ τῆς Ἱερᾶς Μονῆς Ταξιάρχου Μιχαήλ τοῦ Ρουκουνιώτου Σύμης, ἔνθα φυλάσσεται ἡ Ἱερά Εἰκόνα τῶν Ἁγίων.*



*Ἀεροφωτογραφία τοῦ κτιριακοῦ συγκροτήματος τῆς Ἱερᾶς Μονῆς Ταξιάρχου Μιχαήλ τοῦ Ρουκουνιώτου Σύμης.*

# ΠΕΡΙΕΧΟΜΕΝΑ

Πρόλογος Σεβ. Μητροπολίτου Σύμης κ. Χρυσοστόμου ........................................ 3

Ἀκολουθία τῆς Ἁγίας καὶ Πανευφήμου Παρθενομάρτυρος Ἑλικωνίδος
τῆς ἐν Κορίνθῳ ἀθλησάσης .......................................................................... 7

Φωτογραφικόν Παράρτημα .......................................................................... 19